Ginnasio

L'azione corruttrice del prefetto del pretorio trasforma il giovane Commodo in un pessimo imperatore.

Χρόνου μὲν οὖν τινὸς ὀλίγων ἐτῶν τιμὴν πᾶσαν ἀπένεμε[1] τοῖς πατρῴοις φίλοις, πάντα τε ἔπραττεν ἐκείνοις συμβούλοις χρώμενος. Ἐπεὶ δὲ τὴν πρόνοιαν ἐνεχείρισε τῆς ἀρχῆς ἑαυτῷ, ἐπιστήσας τοῖς στρατοπέδοις Περέννιον, ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, στρατιωτικὸν δ' εἶναι δοκοῦντα (διὸ καὶ μάλιστα αὐτὸν ἔπαρχον ἐποίησε τῶν στρατοπέδων), τῇ τοῦ μειρακίου ἀποχρώμενος ἡλικίᾳ ἐκεῖνος εἴασεν αὐτὸν τρυφαῖς σχολάζοντα καὶ κραιπάλαις, τῆς φροντίδος τῶν βασιλείων καμάτων ἀπῆγεν αὐτόν, πᾶσαν δὲ τὴν διοίκησιν τῆς ἀρχῆς αὐτὸς ἀνεδέξατο πλούτου τε ἀκρατήτῳ ἐπιθυμίᾳ καὶ τῶν μὲν προσκτωμένων ἀεὶ καταφρονήσει, τῶν δ οὔπω παρόντων ἀπλήστῳ ἀντιποιήσει. τούς τε πατρῴους φίλους πρῶτος διαβάλλειν ἤρξατο, καὶ ὅσοι πλούσιοί τε ἦσαν καὶ εὐγενεῖς, τούτους ἐς ὑποψίαν ἄγων τὸ μειράκιον ἐφόβει, ὡς ἂν αὐτοὺς διαχρησάμενος ἀφορμὴν αὐτῷ παράσχοι καὶ ἐξουσίαν ἁρπάζειν τὰ ἐκείνων κτήματα.

Erodiano

[1] Il soggetto è Commodo

## QUESITI PER LA PROVA GINNASIALE

1. Declina al plurale, nei tre generi, πᾶς, πᾶσα, πᾶν.
2. Del verbo ἀπονέμω coniuga l'ottativo presente medio.
3. Spiega in poche parole la differenza tra l'imperfetto e l'aoristo per quanto riguarda l'aspetto dell'azione.
4. Del verbo ἐγχειρίζω coniuga l'indicativo aoristo attivo.
5. Del verbo ἐφίστημι forma l'infinito presente attivo e medio-passivo.
6. Del verbo δοκέω coniuga il congiuntivo presente attivo.
7. Traduci in italiano (se vuoi, anche in latino): αὐτός, ὁ αὐτός, αὑτόν, αὐτόν.
8. Che cosa sapresti dire dell'imperatore Commodo e dei suoi tempi?